Il.24.572 Πηλεΐδης δ΄ οἴκοιο λέων ὣς ἆλτο θύραζε
Il.24.573 οὐκ οἶος, ἅμα τῷ γε δύω θεράποντες ἕποντο
Il.24.574 ἥρως Αὐτομέδων ἠδ΄ Ἄλκιμος, οὕς ῥα μάλιστα
Il.24.575 τῖ΄ Ἀχιλεὺς ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα,
Il.24.576 οἳ τόθ΄ ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
Il.24.577 ἐς δ΄ ἄγαγον κήρυ̱κα καλήτορα τοῖο γέροντος,
Il.24.578 κὰδ δ΄ ἐπὶ δίφρου εἷσαν· ἐϋξέστου δ΄ ἀπ΄ ἀπήνης
Il.24.579 ᾕρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι΄ ἄποινα.
Il.24.580 κὰδ δ΄ ἔλιπον δύο φά̱ρε΄ ἐΰννητόν τε χιτῶνα,
Il.24.581 ὄφρα νέκυ̱ν πυκάσα̱ς δοίη οἶκον δὲ φέρεσθαι.
Il.24.582 δμῳὰ̱ς δ΄ ἐκκαλέσα̱ς λοῦσαι κέλετ΄ ἀμφί τ΄ ἀλεῖψαι
Il.24.583 νόσφιν ἀειρά̱σα̱ς, ὡς μὴ Πρίαμος ἴδοι υἱόν,
Il.24.584 μὴ ὃ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο
Il.24.585 παῖδα ἰδών, Ἀχιλῆϊ δ΄ ὀρινθείη φίλον ἦτορ,
Il.24.586 καί ἑ κατακτείνειε, Διὸς δ΄ ἀλίτηται ἐφετμά̱ς.
Il.24.587 τὸν δ΄ ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Il.24.588 ἀμφὶ δέ μιν φᾶρος κα̱λὸν βάλον ἠδὲ χιτῶνα,
Il.24.589 αὐτὸς τόν γ΄ Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρα̱ς,
Il.24.590 σὺν δ΄ ἕταροι ἤειραν ἐϋξέστην ἐπ΄ ἀπήνην.
Il.24.591 ᾤμωξέν τ΄ ἄρ΄ ἔπειτα, φίλον δ΄ ὀνόμηνεν ἑταῖρον·
Il.24.592 μή μοι Πάτροκλε σκυ̱δμαινέμεν, αἴ κε πύθηαι
Il.24.593 εἰ̯ν Ἄϊδός περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυ̱σα
Il.24.594 πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
Il.24.595 σοὶ δ΄ αὖ ἐγὼ καὶ τῶνδ΄ ἀποδάσσομαι ὅσσ΄ ἐπέοικεν.

Il.24.596 Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς,
Il.24.597 ἕζετο δ᾽ ἐν κλισμῷ πολυδαιδάλῳ ἔνθεν ἀνέστη
Il.24.598 τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
Il.24.599 υἱὸς μὲν δή τοι λέλυται γέρον ὡς ἐκέλευες,
Il.24.600 κεῖται δ᾽ ἐν λεχέεσσ᾽· ἅμα δ᾽ ἠοῖ φαινομένηφιν
Il.24.601 ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
Il.24.602 καὶ γάρ τ᾽ ἠΰκομος Νιόβη ἐμνήσατο σί̱του,
Il.24.603 τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο
Il.24.604 ἓξ μὲν θυ̱γατέρες, ἓξ δ᾽ υἱέες ἡβώοντες.
Il.24.605 τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ᾽ ἀργυρέοιο βιοῖο
Il.24.606 χωόμενος Νιόβῃ, τα̱ὰς δ᾽ Ἄρτεμις ἰ̱οχέαιρα,
Il.24.607 οὕνεκ᾽ ἄρα Λητοῖ ἰ̱σάσκετο καλλιπαρῄῳ·
Il.24.608 φῆ δοιὼ τεκέειν, ἣ δ᾽ αὐτὴ γείνατο πολλούς·
Il.24.609 τὼ δ᾽ ἄρα καὶ δοιώ περ ἐόντ᾽ ἀπὸ πάντας ὄλεσσαν.
Il.24.610 οἳ μὲν ἄρ᾽ ἐννῆμαρ κέατ᾽ ἐν φόνῳ, οὐδέ τις ἦεν
Il.24.611 κατθάψαι, λα̱οὺς δὲ λίθους ποίησε Κρονί̱ων·
Il.24.612 τοὺς δ᾽ ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
Il.24.613 ἣ δ᾽ ἄρα σί̱του μνήσατ᾽, ἐπεὶ κάμε δάκρυ χέουσα.
Il.24.614 νῦν δέ που ἐν πέτρῃσιν ἐν οὔρεσιν οἰοπόλοισιν
Il.24.615 ἐν Σιπύλῳ, ὅθι φα̱σὶ θεά̱ων ἔμμεναι εὐνὰς
Il.24.616 νυμφά̱ων, αἵ τ᾽ ἀμφ᾽ Ἀχελώϊον ἐρρώσαντο,
Il.24.617 ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
Il.24.618 ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα δῖε γεραιὲ
Il.24.619 σί̱του· ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα

Il.24.620 Ἴ̱λιον εἰσαγαγών· πολυδάκρυ̱τος δέ τοι ἔσται.
Il.24.621 Ἦ καὶ ἀνα̱ΐ̈ξα̱ς ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
Il.24.622 σφάξ᾽· ἕταροι δ᾽ ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Il.24.623 μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν,
Il.24.624 ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Il.24.625 Αὐτομέδων δ᾽ ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Il.24.626 κα̱λοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Il.24.627 οἳ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Il.24.628 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Il.24.629 ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ᾽ Ἀχιλῆα
Il.24.630 ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει·
Il.24.631 αὐτὰρ ὃ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς
Il.24.632 εἰσορόων ὄψίν τ᾽ ἀγαθὴν καὶ μῦθον ἀκούων.
Il.24.633 αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
Il.24.634 τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
Il.24.635 λέξον νῦν με τάχιστα διοτρεφές, ὄφρα καὶ ἤδη
Il.24.636 ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
Il.24.637 οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν
Il.24.638 ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυ̱μόν,
Il.24.639 ἀλλ᾽ αἰεὶ στενάχω καὶ κήδεα μυ̱ρία πέσσω
Il.24.640 αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
Il.24.641 νῦν δὴ καὶ σί̱του πασάμην καὶ αἴθοπα οἶνον
Il.24.642 λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην.
Il.24.643 Ἦ ῥ᾽, Ἀχιλεὺς δ᾽ ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσε

Il.24.644 δέμνι΄ ὑπ΄ αἰθούσῃ θέμεναι καὶ ῥήγεα κα̱λὰ

Il.24.645 πορφύρε΄ ἐμβαλέειν, στορέσαι τ΄ ἐφύπερθε τάπητας,

Il.24.646 χλαίνας τ΄ ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.

Il.24.647 αἳ δ΄ ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,

Il.24.648 αἶψα δ΄ ἄρα στόρεσαν δοιὼ λέχε΄ ἐγκονέουσαι.

Il.24.649 τὸν δ΄ ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

Il.24.650 ἐκτὸς μὲν δὴ λέξο γέρον φίλε, μή τις Ἀχαιῶν

Il.24.651 ἐνθάδ΄ ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ

Il.24.652 βουλὰ̱ς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·

Il.24.653 τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,

Il.24.654 αὐτίκ΄ ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λα̱ῶν,

Il.24.655 καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.

Il.24.656 ἀλλ΄ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,

Il.24.657 ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,

Il.24.658 ὄφρα τέως αὐτός τε μένω καὶ λα̱ὸν ἐρύ̱κω.